σεσιν εἴωθε περικυλίειν. ἰδίως δὲ ἔτι περὶ τὰς εἰρημένας τῶν σχηματι-
ζομένων ἀστέρων φύσεις, πρὸς τὰ μέρη τοῦ σώματος, τὰ ἰδιώματα ποιοῦ-
σι τῶν παθῶν. συνεργεῖ δ' αὐτοῖς πρὸς τὰς ἐπιτάσεις τῶν φαύλων, ὁ
τοῦ ☿ ἀστὴρ τῷ μὲν τοῦ ♄, πρὸς τὸ ψυχρὸν συνοικειούμενος καὶ μᾶλλον ἐν κι-
νήσει συνεχεῖ ποιῶν τούς τε ῥευματισμοὺς, καὶ τὰς τῶν ὑγρῶν ὀχλήσεις, ἐξαι-
ρέτως δὲ, τὴν περὶ θώρακα καὶ στόμαχον καὶ φάρυγγα. τῷ δὲ τοῦ ♂ πρὸς
τὸ ξηραντικώτερον συνεπιτείνων. ὡς ἐπί τε τῶν ἑλκωδῶν ψιλώσεων, καὶ * ἐσχα-
ρώσεων, καὶ ἀποστημάτων καὶ ἐρυσιπελάτων καὶ λειχήνων ἀγρίων ἢ μελαί-
νης χολῆς, ἢ νόσου ἱερᾶς, ἢ τῶν τοιούτων. καὶ παρὰ τὰς τῶν ζωδίων ἐναλλα-
γὰς τῶν τοὺς προειρημένους ἐπὶ τῶν δύο κέντρων σχηματισμοὺς περιεχόν-
των, γίνονταί τινες ποιότητες παθῶν. ἰδίως μὲν γὰρ ὁ καρκίνος, καὶ ὁ αἰγό-
κερως. ἔτι οἱ ♓ καὶ ὅλως τὰ χερσαῖα καὶ τὰ ἰχθυϊκὰ ζώδια, τὰ τῶν νομῶν
πάθη ποιεῖ. καὶ λειχήνων ἢ χοιράδων. ἢ συρίγγων. ἢ ἐλεφαντιάσεων καὶ
τῶν τοιούτων. ὁ δὲ ♐, καὶ οἱ δίδυμοι, τὰ διὰ πτωματισμῶν ἢ ἐπιλήψε-
ων. καὶ ἐν ταῖς ἐσχάταις δὲ μοίραις παρατυγχάνοντες οἱ ἀστέρες τῶν δωδεκα-
τημορίων περὶ τὰ ἄκρια καὶ μάλιστα πάθη καὶ τὰ σίνη ποιοῦσι, διὰ λωβή-
σεων ἢ ῥευματισμῶν, ἀφ' ὧν ἐλεφαντιώσεις τε καὶ ὡς ἐπίπαν ποδάγραι
καὶ χειράγραι συμβαίνουσι. τούτων δὲ οὕτως ἐχόντων, ἐὰν μηδεὶς τῶν ἀγα-
θοποιῶν συσχηματίζηται τοῖς τὰ αἴτια ποιοῦσι κακοποιοῖς, ἢ τοῖς κεκεν-
τρωμένοις φωσὶν, ἀνίατα καὶ ἐπαχθῆ, τά τε σίνη καὶ τὰ πάθη γενήσεται. ὡσαύ-
τως δὲ κἂν συσχηματίζωνται μὲν, καθυπερτερῶνται δὲ, ὑπὸ τῶν κακο-
ποιῶν ἐνδυναμούντων. ἐὰν δὲ καὶ αὐτοὶ κατὰ κυρίων ὄντες σχημάτων κα-
θυπερτερῶσι τοὺς τὸ αἴτιον ἐμποιοῦντας κακοποιοὺς, τότε τὰ σίνη εὐσχή-
μονα καὶ οὐκ ἐπονείδιστα γίνεται, καὶ τὰ πάθη μέτρια καὶ εὐπαρηγόρητα.
ἔσθ' ὅτε δὲ καὶ εὐαπάλλακτα, ἀνατολικῶν ὄντων τῶν ἀγαθοποιῶν. ὁ μὲν γὰρ τοῦ
♃, βοηθείαις ἀνθρωπίναις, διὰ πλούτων ἢ ἀξιωμάτων, τά τε σίνη κρύπτειν
εἴωθε, καὶ τὰ πάθη παρηγορεῖν, σὺν δὲ τῷ τοῦ ☿, καὶ φαρμακείαις ἢ ἰα-
τρῶν ἀγαθῶν ἐπικουρίαις. ὁ δὲ τῆς ♀, διὰ προφάσεως θεῶν καὶ χρησμῶν,
τὰ μὲν σίνη, τρόπον τινὰ εὔμορφα καὶ ἐπίχαρη κατασκευάζει. τὰ δὲ πά-
θη, ταῖς ἀπὸ θεῶν ἰατρείαις εὐπαρηγόρητα. τοῦ μέντοι ♄ * προσιόντος, με-
τὰ παραδειγματισμῶν καὶ ἐξαγορεύσεων καὶ τῶν τοιούτων. τοῦ δὲ τοῦ ☿ κα-
τ' ἐπικουρίας καὶ μερισμοῦ τινος, ἢ δι' αὐτῶν τῶν σινῶν, ἢ καὶ παθῶν τοῖς
ἔχουσι περιγινομένου.